διδόναι, μοιχείας ἐγκλήματι τὸν τοῦτο ποιοῦντα περιβαλών, οὐδαμοῦ τε φαίνεται ἐπίτηδες νομικῇ παρατηρήσει χρησάμενος οὔτε αὐτὸς οὔτε οἱ τούτου μαθηταί· εἰκὸς γὰρ ἀνεπιτηδεύτως τὰ πολλὰ καὶ τῷ ἔθει συνεξιέναι αὐτούς, ὡς ἤδη εἶπον. Εἴ που δὲ καὶ ταῖς ἑορταῖς αὐτὸν εἰς Ἱεροσόλυμα παραγενέσθαι τὰ εὐαγγέλια λέγουσιν, οὐδὲν τῶν ἐν ταύταις ἐπιτελουμένων πεποιηκέναι φασὶν αὐτὸν οὐδὲ κατ᾽ αὐτὸν πάντως ἐλθεῖν τὸν τῶν δρωμένων καιρόν, ἀλλ᾽ ὑπερήμερον διδασκαλίας τοῦ πλήθους ἕνεκα· εἰ δὲ τῷ καθαρισθέντι λεπρῷ δεῖξαι τῷ ἱερεῖ κελεύει ἑαυτὸν καὶ τὸ νομικὸν προσενέγκαι δῶρον, ἀλλ᾽ οὔπω τῶν μαθητευομένων ἦν τῷ Χριστῷ. ἴσως δὲ καὶ τοῖς ἱερεῦσι δημοσιεῦσαι τὸ θαῦμα βουλόμενος καὶ εἰς ἔννοιαν τοὺς αὐτῷ πιστεύοντας ἄγων, ὡς αὐτὸς ἦν ὁ διὰ Μωϋσέως ταῦτα νομοθετῶν.

Καὶ ἄλλως τοῖς λέγουσιν, ὅτι τὸ νομικὸν ἔφαγε τότε πάσχα διὰ τὴν τοῦ νόμου πλήρωσιν, εἰς τοὐναντίον ὁ λόγος περιτραπήσεται. εἰ γὰρ πέμπτη μὲν τῆς ἑβδομάδος ἦν, ἐν ᾗ τὸ κυριακὸν γέγονε δεῖπνον, τρεισκαιδεκάτη δὲ τοῦ σεληνιακοῦ μηνός, ὡς δειχθήσεται, παρανομία πάντως τὸ γινόμενον ἦν, ἐπείπερ τῇ τεσσαρεσκαιδεκάτῃ πρὸς ἑσπέραν μὲν τὸ πρόβατον ἔθυον, νύκτωρ δὲ ἤσθιον, καὶ ἐξ αὐτοῦ δὲ τοῦτο τοῦ Μωσαϊκοῦ νόμου δῆλον ποιήσομεν οὕτως ἔχοντος· ʽπρόβατον τέλειον ἄρσεν ἐνιαυσιαῖον ἔσται ὑμῖν. ἀπὸ τῶν ἀμνῶν καὶ ἀπὸ τῶν ἐρίφων λήψεσθε· καὶ ἔσται ὑμῖν διατετηρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τούτου. καὶ σφάξουσιν αὐτὸ πᾶν τὸ πλῆθος συναγωγῆς υἱῶν Ἰσραὴλ πρὸς ἑσπέραν. καὶ λήψονται ἀπὸ τοῦ αἵματος καὶ θήσουσιν ἐπὶ τῶν δύο σταθμῶν καὶ ἐπὶ τὴν φλιὰν ἐν τοῖς οἴκοις, ἐν οἷς ἂν φάγωσιν αὐτὸ ἐν αὐτοῖς, καὶ φάγονται τὰ κρέα τῇ νυκτὶ ταύτῃ ὀπτὰ πυρὶ καὶ ἄζυμα ἐπὶ πικρίδων ἔδονται. οὐκ ἔδεσθε ἀπ᾽ αὐτῶν ὠμὸν οὐδὲ ἡψημένον ἐν ὕδατι, ἀλλ᾽ ⟨ἢ⟩ ὀπτὰ πυρὶ κεφαλὴν σὺν τοῖς ποσὶ καὶ τοῖς ἐνδοσθίοις. οὐκ

9 Matth. 8, 4 Luc. 5, 14 21 Exod. 12, 5 sq.

1 περιβαλλὼν B 2 τε] δὲ B 3 τούτου om. B 4 συνεξεῖναι B 5 αὐτὸν ⁒ A in marg. rec. manu εἰς Ἱεροσόλυμα 6 λέγουσι τὰ εὐαγγέλια B ‖ τελουμένων B 8 δρομένων B ‖ καιρὸν ⁒ διδασκαλίας A in marg. rec. manu ⁒ ἀλλ᾽ ὑπερήμερον, falso Cord. et Ust. in contextum rec. ἀλλ᾽ ὑπέβη μὲν 10 κελεύει τῷ ἱερεῖ B 11 τῶν fol. 180v μαθητ. B 12 θαῦμα] πρᾶγμα B 13 μωσέως B 14 τότε om. B 16 verba τῆς — 17 δεῖπνον τρεισκ. bis posuit Cord. 17 τοῦ ante σεληνιακοῦ om. B 18 πάντως — 19 ἑσπ. om. B 20 Μωϋσαικοῦ Cord. Ust. 21 τοῦτο ante ποιήσομεν habet B 24 συναγωγῆς in mg. ante υἱῶν Ἰσραὴλ B 27 φάγωσιν] φυλάττωττωσιν B 29 ἑψημένον B ‖ ἀλλ᾽ — 30 πυρὶ om. B ‖ ἢ om. A Cord. Ust. 30 ἐντοσθίοις B

ἀπολείψετε ἀπ' αὐτοῦ εἰς τὸ πρωῒ καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ, τὰ δὲ καταλειπόμενα ἀπ' αὐτοῦ εἰς τὸ πρωῒ ἐν πυρὶ κατακαύσετε. οὕτω δὲ φάγεσθε αὐτό· αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν καὶ αἱ βακτηρίαι ὑμῶν ἐν ταῖς χερσὶν ὑμῶν καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς· πάσχα ἐστὶ κυρίου'.

Τούτων οὐδὲν ἐπὶ τοῦ κυριακοῦ γέγονε δείπνου· καὶ πρό γε πάντων οὐκ ἦν ἡ τοῦ πάσχα ἡμέρα ἀλλ' ἡ πρὸ ταύτης. καὶ τοῦτο πολλαχόθεν δῆλον· τὴν νύκτα μὲν γὰρ μετὰ τὸ δεῖπνον 143r *προὔδωκεν αὐτὸν Ἰούδας τοῖς | ἀρχιερεῦσι· τῇ ἐπιούσῃ δὲ τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης, ἕκτῃ δὲ τῆς ἑβδομάδος 'ἀπὸ τοῦ Καϊάφα' φησὶν ὁ Ἰωάννης 'ἄγουσιν αὐτὸν εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐα· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσιν τὸ πάσχα.' καὶ ὁ Ματθαῖος μετὰ τὴν ἐν τῷ ὄρει τῶν ἐλαιῶν διδασκαλίαν οὕτω φησίν· 'καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπεν τοῖς μαθηταῖς αὐτοῦ· οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι. τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα καὶ συνεβουλεύσαντο, ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσι καὶ ἀποκτείνωσιν· ἔλεγον δέ· μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ.' καὶ ὁ Μάρκος ὁμοίως· 'ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας· καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, πῶς αὐτὸν δόλῳ κρατήσαντες ἀποκτείνωσιν· ἔλεγον δέ· μὴ ἐν τῇ ἑορτῇ, μή ποτε θόρυβος ἔσται τοῦ λαοῦ.' τὰ παραπλήσια δὲ καὶ ὁ Λουκᾶς εἶπεν· 'ἤγγιζεν ἡ ἑορτὴ τῶν ἀζύμων ἡ λεγομένη πάσχα. καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὸ πῶς ἀνέλωσιν αὐτὸν· ἐφοβοῦντο γὰρ τὸν λαόν.' συμφώνως οὖν τοῖς ἄλλοις καὶ ὁ Λουκᾶς οὐ παρεῖναι τὴν ἑορτὴν ἀλλ' ἠγγικέναι φησίν. εἰ οὖν ὀψὲ τῇ πέμπτῃ παρεδόθη*

---

12 Joh. 18, 28   15 Matth. 26, 1 sq.   23 Marc. 14, 1. 2   27 Luc. 22, 1. 2.

---

1 *ἀπολείψεσθε* Ust. ‖ *συντρίψεται* A Cord. *συντριβήσεται* B   2 *ἐν πυρὶ* om. B   3 *δὲ*] *δὴ* B   4 *ὑποδύματα* B ‖ *ἐν τοῖς* — 5 *χερσὶν ὑμ.* om. Cord. Ust.   6 *σπου* fol. 182r *δῆς* B   9 *πολαχῶθεν* B   10 *ὁ Ἰοῦδας* B Cord. Ust. ‖ *τῇ* ante *τεσσαρεσκαιδ.* om. B   13 *ἦν δὲ πρωΐα* om. B *εἰς τὸ πραιτώριον* om. B   14 *δὲ* post *Ματθαῖος* habet B   17 *αὐτοῦ* B Cord. I   21 *Καϊάφας* Cord. Ust. *κρατήσουσιν* B   24 *ἐζήτουν* — 28 *λεγομένη πάσχα* om. B   29 *τὸ* ante *πῶς* om. B   30 *συμφώνως* — *καὶ ὁ Λουκᾶς*] *καὶ ὁ Λουκᾶς δὲ τὰ παραπλήσια εἶπεν* B   31 *οὖν* om. B *θορύβου χωρὶς* B

χωρὶς θορύβου, δῆλον ὡς οὐκ ἦν ἡ τοῦ πάσχα ἡμέρα· αὐτὸ γὰρ τοῦτο ἐφυλάξαντο μὴ ἐν τῷ πάσχα κρατῆσαι αὐτόν. καὶ ἄλλως ἄτοπον ἦν καὶ ἀδύνατον τῷ καιρῷ τῆς βρώσεως τοῦ προβάτου συσχεῖν αὐτὸν καὶ ἀσχολεῖσθαι περὶ τὰς αὐτοῦ ἐπιβουλὰς τὴν νύκτα πᾶσαν ἐάσαντας τὴν ἑορτήν. ἐκ τούτων οὖν πάντων δῆλον γέγονεν, ὅτι ἡ πέμπτη τῆς ἑβδομάδος οὐκ ἦν ἑορτὴ τοῦ πάσχα ἀλλ' ἡ πρὸ ταύτης τρεισκαιδεκάτη· πρὸς γὰρ τῷ χρόνῳ οὐδ' ἄλλη τις ἐν τῷ δείπνῳ νομικὴ παρατήρησις γενομένη φαίνεται οὐδεμία.

Ἀλογώτατον δὲ τὸ ὑπό τινων εἰρημένον, ὡς τεσσαρεσκαιδεκάτη μὲν ὑπῆρχεν ἡ τοῦ μυστικοῦ δείπνου ἡμέρα, πεπλάνηνται δὲ οἱ Ἰουδαῖοι τότε μιᾷ ἡμέρᾳ τῇ πεντεκαιδεκάτῃ τὸ πάσχα ποιήσαντες, οὐδὲ γὰρ παῖδα λάθοι ἂν ἡ σελήνη τεσσαρεσκαιδεκάτην ἄγουσα καὶ αὐτοῖς ὁρωμένη τοῖς ὀφθαλμοῖς ὅτε πλησιφαὴς οὖσα τὴν διάμετρον ἀποσταίη τοῦ ἡλίου ἀντιπρόσωπος αὐτῷ γενομένη, ὡς ἐκείνου δύνοντος ταύτην ἀνατέλλειν, μή τί γε καὶ ἔθνος ὅλον ἐν τούτῳ λίαν περίεργον καὶ ἀρχιερέων καὶ νομοδιδασκάλων πληθύν. ὅτι γὰρ οὐκ ἐπλανήθησαν, καὶ ὁ ἀπόστολος ἐμαρτύρησεν εἰπών· ʽτὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός' καὶ αὐτὸς ὁ κύριος ἐπὶ λέξεως τοῖς μαθηταῖς· ʽοἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.' ἦν δὲ τότε ἡ πρὸ τοῦ δείπνου ἡμέρα τουτέστιν δωδεκάτη τοῦ μηνός, τῆς ἑβδομάδος δὲ τετάρτη· ʽμετὰ δύο' οὖν εἶπεν ʽἡμέρας' τήν τε δωδεκάτην καὶ τὴν τρεισκαιδεκάτην, ὅτε γέγονε τὸ δεῖπνον, ἐν ᾗ παρεδόθη νύκτωρ, τῇ δὲ ἑξῆς τεσσαρεσκαιδεκάτῃ σταυροῦται. ἀκριβῶς οὖν εἶπεν ʽεἰς τὸ σταυρωθῆναι', μετὰ γὰρ τὸ δεῖπνον νύκτωρ τοῖς ἀρχιερεῦσι παρεδόθη, πρωῒ δὲ τῷ Πιλάτῳ | 143v *ὑπ' αὐτῶν εἰς τὸ σταυρωθῆναι. τούτῳ καὶ ἡ τῶν εὐαγγελίων ἱστορία μαρτυρεῖ συμφωνοῦσα τῇ τοῦ κυρίου προρρήσει· Ματθαῖος μὲν οὕτω λέγων· ʽτότε ἀπέλυσεν αὐτοῖς τὸν*

---

19 I Cor. 5, 7   20 Matth. 26, 2   31 Matth. 27, 26

---

2 *ἐφύλαξαν, τὸ μὴ* B   3 *ἐν τῷ καιρῷ τῆς τοῦ προβάτου βρώσεως* B   5 *ἐάσαντες* B Ust. *τὴν* fol. 182v *ἑορτὴν* B   7 *τρεισκαιδεκάτηι* B   8 *οὐδ' ἄλλη τις παρατήρησις ἐν τῷ δείπνῳ φαίνεται γενομένη οὐδεμία* B   12 *οἱ* ante *Ἰουδαῖοι* om. B   15 *κατὰ διάμετρον* B ‖ *ἀποσταίει* B ‖ *ὅτε* ante *ἀντιπρόσωπος* posuit B   16 *ταύτην*] *αὐτὴν* B   17 *ἐν τοῦτο* B   23 *ἡ δωδεκάτη* B   24 *οὖν* om. B ‖ *τε* om. Cord. Ust.   26 *παρεδώθη* A   27 *ἀκριβῶς — σταυρωθῆναι* om. B   29 *τούτῳ*] *τοῦτο* B Ust.   30 *εἱστορία* A   31 *Ματθαῖος* — p. 214, 12 *τρόπος ἐκρίθη* om. B

Βαρραβᾶν, τὸν δὲ Ἰησοῦν φραγελλώσας παρέδωκεν εἰς τὸ σταυρωθῆναι' καὶ ὁ Ἰωάννης μετὰ τὴν κρίσιν τήν τε ὑπὸ τῶν Φαρισαίων καὶ τὴν ὑπὸ τοῦ Πιλάτου 'τότε οὖν' φησὶ 'παρέδωκεν αὐτοῖς αὐτὸν ἵνα σταυρωθῇ' καὶ ὁ Λουκᾶς· 'ὁ δὲ Πιλᾶτος ἐπέκρινε γενέσθαι τὸ θέλημα αὐτῶν' τουτέστι τὸ σταυρωθῆναι, καὶ ὁ Μάρκος· 'ἀπέλυσεν αὐτοῖς τὸν Βαρραβᾶν καὶ παρέδωκεν τὸν Ἰησοῦν φραγελλώσας ἵνα σταυρωθῇ'· ἀποκτεῖναι μὲν γὰρ αὐτὸν πάλαι δεδογμένον αὐτοῖς ἦν, σταυρῶσαι δὲ τέως οὐδέπω· μετὰ δὲ τὴν κρίσιν ἐρωτήσαντος τοῦ Πιλάτου τοὺς Ἰουδαίους· 'τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν;' οἱ δὲ καθ' ὑπόθεσιν τῶν ἀρχιερέων ἐβόησαν· σταυρωθήτω σταυρωθήτω· τότε οὖν ὁ τοῦ θανάτου τρόπος ἐκρίθη. διὰ πάντων ἄρα τούτων ἡ ἀκρίβεια τῆς τοῦ κυρίου προρρήσεως ἐδείχθη· 'ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.' οὐ γὰρ ἁπλῶς εἶπεν 'παραδίδοται', ἵνα μὴ τὴν μετὰ τὴν τρεισκαιδεκάτην τοῦ μηνὸς νύκτα λάβῃ τις, ὅτε συνεσχέθη ὑπὸ τῶν Ἰουδαίων καὶ ἐδόθη τοῖς ἀρχιερεῦσιν· οὔπω γὰρ ἦν τότε δόξαν, ὡς εἶπον, αὐτὸν σταυρωθῆναι, τῇ δὲ τεσσαρεσκαιδεκάτῃ εἰς τὸ σταυρωθῆναι παρεδόθη, ἣν ὁ κύριος πάσχα ὠνόμασε καὶ ὁ Παῦλος, ὥστε οὐκ ἐπλανήθησαν οἱ Ἰουδαῖοι τὴν ἡμέραν.

Οὐδὲ ἑκόντες, ὡς ἕτεροί φασι, διὰ τὸν τοῦ κυρίου θάνατον εἰς τὴν ἑξῆς ὑπερέθεντο τὴν ἑορτήν. ἀδύνατον γὰρ ἦν ὅλῳ ἔθνει πανταχοῦ τῆς οἰκουμένης ὄντι δι' ἑνὸς ἀνθρώπου θάνατον τοῦτο συμβῆναι· προκηρύττεται γὰρ ἡ τοῦ πάσχα ἡμέρα πανταχοῦ πρὸ χρόνου πλείονος, ὡς καὶ μέχρι νῦν. εἰ οὖν πάσχα ἦν ἡ τεσσαρεσκαιδεκάτη, ἐν ᾗ τὸ πρόβατον ἠσθίετο, πῶς ἤμελλεν ὁ κύριος τῇ τρεισκαιδεκάτῃ τὸ ἰουδαϊκὸν ἐσθίειν πάσχα μὴ συγχωροῦντος τοῦ καιροῦ; ὅθεν ἴχνος οὐδὲν τῶν ἐν τῷ νομικῷ πάσχα τελουμένων ἐν ἐκείνῳ γέγονε τῷ δείπνῳ. καὶ πάντες δὲ οἱ εὐαγγελισταί φασιν, ὅτι 'κατὰ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον ὃν ἤθελον.' ἀπέλυεν δὲ ἐν αὐτῇ τῇ τεσσαρεσκαιδεκάτῃ, ἣν ἑορτὴν τοῦ πάσχα καλοῦσιν οἱ εὐαγγελισταὶ καὶ ὁ νόμος, οὐχὶ τῇ πρὸ αὐτῆς.

---

3 Joh. 19, 16   **4** Luc. 23, 24   **6** Marc. 15, 15   **10** Matth. 27, 22   **14** Matth. 26, 2   **31** Matth. 27, 15

---

1 *βαραββὰν* Cord. II saepius   11 *σταυρωθήτω* non repet. Cord. Ust.   12 *διὰ πάντων τούτων ἄρα* B   15 *οὐ γὰρ ἁπλῶς* — 20 *Παῦλος* om. B   18 *δόξα* Cord. Ust.   22 *φα* fol. 183r *σὶ* B   24 *ὅλῳ τῷ ἔθνει* B   26 *μέχρι τοῦ νῦν* B ‖ *εἰ οὖν πάσχα* — 34 *οὐχὶ τῇ πρὸ αὐτῆς* om. B

καὶ ὁ Ἰωάννης δὲ σαφῶς διέστειλε τὴν ἡμέραν τοῦ δεσποτικοῦ δείπνου τῆς τοῦ πάσχα ἑορτῆς οὕτως εἰπών· ‛πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ Ἰησοῦς, ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα, ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ εἰς τέλος ἠγάπησεν αὐτοὺς καὶ δείπνου γενομένου τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτου, ἵνα αὐτὸν παραδῷ.’ σκόπει τὴν λέξιν· ‛δείπνου’ φησὶν ἁπλῶς, οὐ ‛τοῦ πάσχα’, καὶ τὰ ἑξῆς, ὅσα διηγεῖται ὁ εὐαγγελιστὴς ἐν τῷ δείπνῳ εἰρημένα τε καὶ γενόμενα, καὶ πῶς τὸν προδότην ἔδειξεν εἰπών· ‛ἐκεῖνός ἐστιν, ᾧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω· καὶ ἐμβάψας τὸ ψωμίον δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ. καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς | ἐκεῖνον ὁ σατανᾶς. λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς· ὃ ποιεῖς, 144r
ποίησον τάχιον, τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ· τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς· ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτὴν ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ.’

Ἴσασιν ἄρα καὶ οἱ εὐαγγελισταὶ πάντες καὶ οἱ ἀπόστολοι, ὅτι ἡ ἑορτὴ τοῦ πάσχα οὐκ ἦν, ὅτε γέγονε τὸ δεῖπνον· ἐπεὶ πῶς ὑπώπτευον, ὅτι τὰ πρὸς ἑτοιμασίαν τῆς τοῦ πάσχα ἑορτῆς ἀγοράσαι ὁ κύριος ἐπέταξε τῷ Ἰούδᾳ; καὶ ἄλλως· ἑψητὸν ἐν ὕδατι οὐκ ἤσθιον ἐν τῷ πάσχα, ὀπτὰ δὲ μόνον· ζωμὸς δὲ παρέκειτο τῇ τραπέζῃ, ἐν ᾧ τὸ ψωμίον ἔβαψεν, ὃ ἔδωκε τῷ Ἰούδᾳ· οὐκ ἄρα τὸ πάσχα τὸ νομικὸν ἔφαγεν ὁ Χριστὸς ἐν τῷ δείπνῳ, ἀλλὰ τὸ ἀληθινὸν παρέδωκεν· διό φησιν· ‛ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ’ ὑμῶν πρὸ τοῦ με παθεῖν’ ἀκριβῶς εἰπὼν ‛τοῦτο’ δεικτικῶς τὸ παρόν, οὐ τὸ τυπικὸν καὶ εἰθισμένον, ἀλλὰ τὸ καινόν, οὗ τύπος ἦν ἐκεῖνο πληρούμενον διὰ τούτου· ‛πλήρωμα γὰρ νόμου Χριστός.’

Τοῦτο δὲ αὐτὸ καὶ ἐντεῦθεν δείκνυμεν· ‛ἐσθιόντων γὰρ αὐτῶν’ φησὶν ὁ Ματθαῖος ‛λαβὼν ὁ Ἰησοῦς ἄρτον καὶ εὐλογήσας

---

2 Joh. 13, 12 10 Joh. 13, 26 sq. 25 Luc. 22, 15 29 Rom. 10, 4 30 Matth. 26, 26 sq.

---

1 καὶ — σαφῶς om. B δι ε στειλ . . ε A inter λ et ε rasura unius vel duarum litterarum A διέστειλε B 6 Ἰούδα om. B 7 Σιμῶνος B ‖ σκόπει δὲ τὴν B 8 τὰ ἑξῆς] ἁπλῶς B 10 πῶς] ὅπως B ‖ ᾧ] ὁ B 11 τὸ ψωμίον om. B 13 ὁ σατανᾶς εἰς ἐκεῖνον B ‖ ὁ ante Ἰησοῦς om. Cord. Ust. 14 post ποιεῖς rasura, pergit B ποίησον ‖ τάχιον] ι in rasura A 15 τινὲς γὰρ — 23 τῷ Ἰούδᾳ om. B 23 ζωμίον A 24 οὐκ ἄρα — νομικὸν] δέδεικται οὖν, ὅτι οὐ τὸ νομικὸν πάσχα B 27 οὖν ante εἰπών B ‖ αὐτὸ τὸ παρὸν B 28 ἠθισμένον B ‖ ἐκείνου B 30 τοῦτο δὲ αὐτὸ — p. 216, 14 δηλονότι om. B

ἔκλασεν καὶ δοὺς τοῖς μαθηταῖς αὐτοῦ εἶπεν· λάβετε φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου· καὶ λαβὼν ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχεόμενον εἰς ἄφεσιν ἁμαρτιῶν', ὁ δὲ Λουκᾶς οὕτω· 'καὶ λαβὼν ἄρτον εὐχαριστήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς λέγων· τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου τὸ ὑπὲρ ὑμῶν ἐκχεόμενον.' τὰ αὐτὰ δὲ καὶ ὁ Μάρκος. εἰ οὖν τὸ τῆς καινῆς διαθήκης ἐστὶ τὸ δοθὲν ἐν τῷ δείπνῳ τοῖς μαθηταῖς, περὶ τούτου ἄρα καὶ ὁ κύριος ἔλεγεν· 'ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν' καὶ οὐχὶ 'τὸ', τῆς παλαιᾶς δηλονότι· ἐπισημειοῦσθαι δὲ παρεγγυῶ τοῖς ἐντευξομένοις ὡς τούτου δειχθέντος· τὸ δοθὲν ὑπ' αὐτοῦ τοῖς μαθηταῖς μυστήριον ὁ δεσπότης Χριστὸς ὠνόμασε πάσχα.

Ὅσα δὲ τοὺς ἐκεῖνο νενομικότας ἐπλάνησε, ταῦτα παραθεὶς ἀπολύσομαι. ὁ μὲν οὖν Ματθαῖος οὕτω φησί· 'τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες αὐτῷ· ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα;' ταῦτα δὲ ἠρώτων τῇ τρεισκαιδεκάτῃ τοῦ μηνός, πέμπτῃ δὲ τῆς ἑβδομάδος, ὡς ἐδείξαμεν, ὅτε καὶ τὸ δεῖπνον γέγονε. καὶ ὁ Λουκᾶς ὁμοίως· 'ἦλθεν δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα'. καὶ ὁ Μάρκος· 'καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν, ἵνα φάγῃς τὸ πάσχα;' ἰδοὺ γάρ, φασίν, αὐτῇ τῇ πρώτῃ τῶν ἀζύμων γέγονε τὸ δεῖπνον, ὅτε τὸ πάσχα ἔθυον· ἅμα γὰρ καὶ τὸ πρόβατον ἠσθίετο καὶ τὰ ἄζυμα μετὰ πικρίδων. — ἀλλ' ἐξ αὐτοῦ τούτου μάλιστα τὸν ἔλεγχον ἔχουσιν. οὐδὲν γὰρ ἐν τῷ δείπνῳ γέγονε τοιοῦτον, ὡς ἤδη εἶπον, οὐδὲ ἄζυμον ἄρτον ἀντίτυπον τοῦ ἰδίου σώματος τοῖς ἑαυτοῦ μαθηταῖς
144v ἔδωκεν | ὁ Χριστός· ἐγίνετο γὰρ ἂν καὶ μέχρι νῦν· εἰ δὲ ἦν πρώτη τῶν ἀζύμων ἐκείνη, ἀδύνατον ἦν ζυμωτὸν ἄρτον αὐτοῖς

5 Luc. 22, 19. 20 12 Luc. 22, 15 19 Matth. 26, 17 23 Luc. 22, 7 25 Marc. 14, 12

1 αὐτοῦ Cord. II Ust. 4 καινῆς om. A Cord. I 14 δηλονότι, τοῖς γὰρ ἐντευξομένοις ὡς Cord. Ust. 16 Χριστὸς fol. 183v ὀνόμασε B 27 φάγεις B φασὶν] φησὶ B ‖ αὐτῇ om. B 30 τούτου] τοίνυν Ust. μάλιστα τούτου B 31 γεγόνει B 33 μέχρι τοῦ νῦν B ‖ εἰ δὲ] ἢ δὲ B

εὑρεθῆναι· λόγος γὰρ ἔχει, ὡς ἀπὸ ἕκτης ὥρας τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς ἡμέρας σάλπιγγος φωνούσης πᾶς ἄρτος ζυμωτός, εἴ τις αὐτοῖς ὑπολέλειπτο, πυρὶ καιόμενος ἐξηφανίζετο. ὥστε οὐκ ἦν πρώτη τῶν ἀζύμων, ἐν ᾗ τὸ δεῖπνον γέγονεν. ἐπειδὴ δὲ καὶ μετὰ τὴν ἐν τῷ ὄρει τῶν ἐλαιῶν διδασκαλίαν ἑξῆς εἰς Βηθανίαν μετῆλθε τοῖς μαθηταῖς, εἶπεν ὁ κύριος· 'οὐκ οἴδατε, ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι;' καὶ προφανῶς πάσχα εἶναί φησι τὴν ἡμέραν τῆς παρασκευῆς, ἥτις ἦν τεσσαρεσκαιδεκάτη τοῦ μηνός, ἐν ᾗ καὶ ἐσταύρωται. οὐκ οἶδεν ἄρα τὴν πρὸ ταύτης, ἐν ᾗ τὸ δεῖπνον γέγονε, πάσχα, τουτέστιν τεσσαρεσκαιδεκαταίαν τοῦ μηνός, οὐδὲ πρώτην τῶν ἀζύμων, ὁπότε οὐδὲ τὴν τεσσαρεσκαιδεκάτην, ἐν ᾗ τὸ πρόβατον ἤσθιον οἱ Ἰουδαῖοι καὶ τῶν ἀζύμων ἀπήρχοντο, πρώτην τῶν ἀζύμων οἶδεν ὁ νόμος, ἀλλὰ τὴν πεντεκαιδεκάτην· πῶς οὖν ἤμελλον οἱ εὐαγγελισταὶ τὴν τρεισκαιδεκάτην, ἐν ᾗ γέγονε τὸ δεῖπνον, πρώτην εἶναι τῶν ἀζύμων λέγειν οὕτως, ὡς ἐν αὐτῇ πρώτῃ ἐσθιομένων τῶν ἀζύμων; ὅπερ ἐναργῶς ἐστι ψεῦδος. ἀλλ' οὐδὲ ἐν αὐτῇ τοῦ πάσχα τῇ ἡμέρᾳ ἡ ἑτοιμασία τοῦ προβάτου ἐγίνετο, ἀλλ' ἀπὸ δεκάτης τοῦ μηνὸς καὶ διετηρεῖτο μέχρι τῆς τεσσαρεσκαιδεκάτης. τὸ οὖν 'ἑτοιμάσωμέν σοι τὸ πάσχα' οἱ μὲν μαθηταὶ περὶ τοῦ νομικοῦ λέγουσι πάσχα, ὡς ὀφείλοντες εἰς τὴν ἑξῆς τὰ πρὸς τοῦτο εὐτρεπίσαι, ὁ δὲ κύριος παρὰ προσδοκίαν ἐκείνων πρὸ τῆς ἡμέρας τοῦ πάσχα τὸ ἑαυτοῦ παρέδωκε μυστικὸν ἐν τῇ τρεισκαιδεκάτῃ, ὅπερ ἦν πλήρωμα τοῦ νόμου.

Φησὶν οὖν ὁ εὐαγγελιστής· 'ὀψίας δὲ γενομένης ἔρχεται μετὰ τῶν δώδεκα καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων εἶπεν ὁ Ἰησοῦς.' ἀλλ' οὐκ ἀνακείμενοι ἀλλ' ἱστάμενοι καὶ διεσχηματισμένοι κατὰ τὸν νόμον ἅπαντες τὸ πάσχα ἤσθιον· πῶς δ' ἂν πρόβατον ἐνιαυσιαῖον τέλειον ὀλίγοις ἀνθρώποις καταναr-

---

1 Exod. 12, 5 sq. 6 Matth. 26, 2 27 Marc. 14, 17. 18

---

3 ὑπελέλειπτο Ust. 6 οὐκ om. B 9 παρασκευῆς fol. 184[r] ὅτι B 10 οὐκ οἶδεν — 15 πεντεκαιδεκάτην om. B 12 πρώτην — 14 ἀπήρχοντο om. Cord. Ust. 15 ἔμελλον B 17 εἶναι om. Ust. οὕτως ὡς ἐν αὐτῇ πρώτῃ] οὕτως ἐν τῇ πρώτῃ B 19 ἐγένετο B 20 διετηρεῖτο μέχρι] διετηρήτω ἕως B 22 αὐτοῦ ante τοῦ νομικοῦ habet B ‖ πάσχα om. B 23 προσδωκίαν B 24 τῆς τοῦ πάσχα ἡμέρας B 25 ἐν τῇ τρεισκαιδεκάτῃ — 26 νόμου om. B 27 οὖν om. B 30 κατὰ τὸν νόμον ἅπαντες om. B 31 τέλειον ἐν ὀλίγοις B

λίσκειν ἦν δυνατόν; οὐδένα γὰρ αὐτοῖς ἄλλον συνανακεκλίσθαι φασὶ τὰ εὐαγγέλια, οὐδ' ἦν εἰκὸς τοῦ μυστηρίου παραδιδομένου παρεῖναι ἑτέρους πλὴν τοὺς μυσταγωγεῖν τὴν ὑφ' ἡλίου μέλλοντας. οὐκ ἄρα πρώτη τῶν ἀζύμων ἦν ἐκείνη οὐδὲ τοῦ νομικοῦ πάσχα τὰ κείμενα ἦν ἑτοιμασία, ἀλλὰ μόνου δείπνου, ἐν ᾧ τὸ μυστήριον παρεδόθη, ὡς καὶ ⟨ὁ⟩ Ἰωάννης εἶπεν οὕτως ἁπλῶς· 'καὶ δείπνου γενομένου.' ὁμοίως καὶ ὁ Λουκᾶς εἰπών· 'ἦλθεν δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα' μετ' ὀλίγα φησί· 'καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσεν καὶ οἱ δώδεκα ἀπόστολοι μετ' αὐτοῦ.' τὰ αὐτὰ καὶ ὁ Μάρκος.

Ὅτι μὲν οὖν, εἰ οὕτω νοοῖμεν εἰρῆσθαι τὴν πρώτην ἡμέραν τῶν ἀζύμων, ὡς αὐτὴν τοῦ πάσχα τὴν ἡμέραν δηλοῦν, καὶ αὐτὸς ἕκαστος αὐτῷ τῶν εὐαγγελιστῶν καὶ τοῖς νομικοῖς γράμμασιν ἀσύμφωνος φανεῖται, ἱκανῶς ἐδείχθη. ἀλλὰ καὶ τῷ Ἰωάννῃ πάντες ἐναντιώσονται· φησὶ γὰρ ἐκεῖνος· 'πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ Ἰησοῦς, ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα,
145r ἵνα μεταβῇ ἐκ τοῦ κόσμου | τούτου πρὸς τὸν πατέρα, ἀγαπήσας τοὺς ἰδίους εἰς τέλος ἠγάπησεν αὐτούς. καὶ δείπνου γενομένου' καὶ τὰ ἑξῆς διηγεῖται τοῦ δείπνου, ἃ καὶ πρόκειται. πρὸ τῆς ἑορτῆς ἄρα τοῦ νομικοῦ πάσχα καὶ τῶν ἀζύμων τὸ δεῖπνον γέγονεν, οὐχὶ τῇ πρώτῃ τῶν ἀζύμων.

Εἰδέναι γὰρ προσήκει, ὡς οὐδ' αὐτὴν τοῦ πάσχα τὴν ἡμέραν πρώτην τῶν ἀζύμων οἶδεν ὁ νόμος, ἀλλὰ τὴν μὲν τεσσαρεσκαιδεκάτην ἑορτὴν τοῦ πάσχα, τὴν δέ γε πεντεκαιδεκάτην ἑορτὴν τῶν ἀζύμων. καίτοι γε νύκτωρ ἀνὰ μέσον τῶν ἑσπερινῶν τὸ πρόβατον ἤσθιον καὶ τῶν ἀζύμων ἀπήρχοντο· ἀλλ' ὅμως οὐ καλεῖ τὴν τεσσαρεσκαιδεκάτην ἑορτὴν τῶν ἀζύμων ὁ νόμος ἀλλ' ἑορτὴν τοῦ πάσχα, τὴν δὲ μετ' ἐκείνην πεντεκαιδεκάτην ἑορτὴν τῶν ἀζύμων καὶ πρώτην τῶν ἀζύμων. ἐν γὰρ τῷ Λευιτικῷ Μωϋσῆς οὕτως εἶπεν· 'ἐν τῷ πρώτῳ μηνὶ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἀνὰ μέσον τῶν ἑσπερινῶν πάσχα τῷ κυρίῳ καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτὴ τῶν ἀζύμων τῷ κυρίῳ.' καὶ ἐν τοῖς Ἀριθμοῖς

7 Joh. 13, 2 8 Luc. 22, 7 9 Luc. 22, 14 15 Joh. 13, 1. 2 30 Lev. 23, 5. 6.

1 οὐδένα γὰρ ἄλλον συνανακεῖσθαι αὐτοῖς B || οὐδένα] οὐδὲν Cord. Ust. 5 ἦν om. B 6 ὁ ante Ἰωάννης om. A 6 ἐν ᾧ — 29 πρώτην τῶν ἀζύμων om. B 13 ἕκαστος αὐτῷ A ἕκαστος αὐτῶν Cord. ἕκ. ἑαυτῷ Ust. 15 πάντως Cord. Ust. 30 Μῶσῆς B 31 ἀνὰ μέσων B 33 καὶ ἐν τοῖς Ἀριθμοῖς — p. 219, 3 τούτου ἑορτή om. B

δὲ πάλιν ὁμοίως· ‘καὶ ἐν τῷ μηνὶ τῷ πρώτῳ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς πάσχα τῷ κυρίῳ καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτή, ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε.’ οὐκ ἄρα τὸ πάσχα τῶν ἀζύμων ἦν ἑορτή, ἀλλ’ ἡ πεντεκαιδεκάτη τοῦ μηνὸς ἡμέρα. πῶς οὖν τῶν εὐαγγελιστῶν ἕκαστος καὶ ἑαυτῷ καὶ τοῖς λοιποῖς καὶ τοῖς Μωσαϊκοῖς ἀσύμφωνος ἤμελλεν εἶναι ἑνὸς ὄντος τοῦ ἁγίου πνεύματος τοῦ διὰ πάντων λαλήσαντος, εἰ ἁπλῶς οὑτωσὶ τῇ πρώτῃ τῶν ἀζύμων ἀκούοιμεν, ἐν ᾗ ἐσθίειν ἄζυμα ἤρχοντο, ἥτις ἦν ἡ πεντεκαιδεκάτη; προδηλοτάτη γὰρ ἡ τῶν πραγμάτων ἀσυμφωνία καὶ οὐκ ἀμφίβολος. αὐτὸ δὲ τοῦτο μάλιστα πείθειν ἱκανόν, ὅτι οὐκ ἂν ἐν τοῖς οὕτως ὁμολογουμένοις ἀντιφθέγγεσθαι ἤμελλον· διὸ τὸ οὕτως ἄλογον διεγείρει πρὸς ζήτησιν τὸν ἡμέτερον νοῦν, τί ἂν εἴη τῶν γεγραμμένων τὸ βούλημα· καλῶς οὖν καὶ ἀληθῶς τινες πρώτην τῶν ἀζύμων ἀκούουσι τὴν πρὸ τῶν ἀζύμων ἡμέραν· οὕτω γὰρ ἑαυτοῖς συμφωνήσουσι πάντες καὶ αὐτὸς ἕκαστος ἑαυτῷ. σκόπει γὰρ οὕτως· ὁ Χριστὸς παρὰ τῷ Ματθαίῳ φησίν· ‘οἴδατε, ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται.’ δύο δὲ πρὸ τοῦ πάσχα ἡμέραι ἡ δωδεκάτη τοῦ μηνός ἐστι καὶ ἡ τρεισκαιδεκάτη, ὧν οὐδετέρα οὐδὲ πάσχα ἐστὶν οὐδὲ ἀζύμων ἡμέρα. εἰ μὲν οὖν ἐν τῇ δωδεκάτῃ τοῦτο προείρηκεν ὁ Χριστός, ‘μετὰ δύο’ φησὶν τήν τε ἐνεστῶσαν δωδεκάτην, ἐν ᾗ ταῦτα ἔλεγε, καὶ τὴν μετ’ αὐτὴν τρεισκαιδεκάτην· εἰ δὲ ἐν τῇ ἑνδεκάτῃ τοῦτο εἴρηκε, τὰς μετ’ αὐτὴν δύο φησὶν ἡμέρας. ἐμοὶ δὲ τὸ πρότερον ἀληθέστερον εἶναι δοκεῖ. τὴν δωδεκάτην γὰρ ἐν Βηθανίᾳ ἦν παρὰ Σίμωνι τῷ λεπρῷ. πότε μὲν οὖν προείρηκεν τοῦτο ὁ Χριστός, ἴσως ἀμφίβολον· τὸ δὲ ‘μετὰ δύο ἡμέρας’ οὐδεμίαν ἔχει ζήτησιν, ὅτι τὴν δωδεκάτην λέγει καὶ τὴν τρεισκαιδεκάτην, μεθ’ ἃς ἦν τὸ πάσχα, ἥτις ἐστὶν ⟨ἡ⟩ τεσσαρεσκαιδεκάτη· τῇ δὲ τεσσαρεσκαιδεκάτῃ ἀνὰ μέσον τῶν ἑσπερινῶν τὸ πρόβατον ἤσθιον καὶ τῶν ἀζύμων ἀπήρχοντο, ἐν οὐδεμιᾷ δὲ τῶν πρὸ ταύτης. καὶ Μάρκος οὖν τὰ αὐτὰ τῷ Ματθαίῳ | λέγων· ‘ἦν 145v *δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας’ δῆλός ἐστι τὴν δωδεκάτην καὶ τρεισκαιδεκάτην πρὸ τῶν ἀζύμων εἶναι λέγων· πῶς οὖν εὐθέως τὴν τρεισκαιδεκάτην πρώτην τῶν ἀζύμων λέγειν ἤμελλεν εἰπών· ‘καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα*

1 Num. 28, 16. 17   18 Matth. 26, 2   32 Marc. 14, 1   36 Marc. 14, 12

1 locum e Numeris citatum om. Cord.   3 *οὐκ ἄρα* — p. 221, 24 *τῷ κυρίῳ* om. B   8 *τὴν πρώτην* Ust.   15 *πρὸ*] *πρὸς* Cord.   24 *τὸ* ante *πρότερον* om. Cord.   29 *ἡ* om. A   33 *δῆλόν ἐστι* Cord.

ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν, ἵνα φάγῃς τὸ πάσχα;' ἥτις ἦν τοῦ μηνὸς τρεισκαιδεκάτη· προειρηκὼς οὖν· 'ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας' πῶς ἤμελλεν εὐθὺς πρώτην τῶν ἀζύμων αὐτὴν εἶναι λέγειν ὁμολογουμένης οὔσης καὶ παρ' αὐτὰ τῆς ἐναντιολογίας τε καὶ τοῦ ψεύδους; καλῶς ἄρα εἶπον, ὅτι πρώτην φησὶ τῶν ἀζύμων τὴν ὄπιθεν αὐτῶν πρώτην, ὡς εἰ καὶ τὴν δωδεκάτην δευτέραν πρὸ τῶν ἀζύμων λέγοις ἄν· ὡς γὰρ μία τῶν σαββάτων ἡ μετὰ τὸ σάββατον πρώτη καλεῖται, οὕτως εἴποις ἂν καὶ τὴν πλησιάζουσαν ὄπιθεν τῷ σαββάτῳ τουτέστιν τῆς ἑβδομάδος ἕκτην, πρώτην τοῦ σαββάτου, τουτέστιν πρὸ τοῦ σαββάτου. ὁμοίως οὖν καὶ τὴν πρὸ τῶν ἀζύμων εὐθὺς πρώτην τῶν ἀζύμων εἰρήκασιν οἱ εὐαγγελισταί.

Ὁ δὲ Λουκᾶς σαφέστερον εἶπεν· 'ἦλθεν δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα' τουτέστιν ἤγγικεν. τὰς γὰρ πλησιαζούσας ταῖς ἐλπιζομέναις τοῖς ἐκείνων καλοῦμεν ὀνόμασι· τὸν πλησιάζοντα τῷ ἔαρι καιρόν· ἦλθεν, φαμέν, τὸ ἔαρ· καὶ ἐπὶ τῶν ἄλλων καιρῶν ὁμοίως· τὸν πλησιάζοντα τῷ τοκετῷ τῆς κυούσης καιρόν· ἦλθεν, φαμέν, τοῦ τεκεῖν ὁ καιρός, οὐκ αὐτὴν πάντως ἐκείνην τοῦ τοκετοῦ τὴν ἡμέραν ἢ τὴν ὥραν λέγοντες, ἀλλὰ τὸν αὐτῇ πλησιάζοντα. οὕτως οὖν ἐγγίζοντος τοῦ πάσχα 'ἦλθεν ἡ ἑορτὴ τοῦ πάσχα καὶ τῶν ἀζύμων' εἴρηκε, τουτέστιν ἐπλησίαζεν. ἦλθεν ὁ ἄμητος, ἦλθεν ἡ φυτεία, ἦλθεν ὁ καιρὸς τοῦ πλοῦ· καὶ ἐπὶ πάντων τῶν τοιούτων ὁμοίως, οὐ πάντως αὐτὸν ἐκεῖνον ἀκριβῶς ἐληλυθέναι λέγοντες τὸν καιρὸν ἀλλὰ τὸν πλησιάζοντα τῷ προσδοκωμένῳ· τῇ ἐφέσει γὰρ τοῦ παρεῖναι τὸν ζητούμενον καιρὸν ὡς αὐτὸν ἤδη παρόντα ἐκεῖνον τὸν αὐτοῦ πλησίον ὀνομάζομεν. καὶ ἐκ τοῦ ἐναντίου τὸν τοῖς δεινοῖς πλησιάζοντα καιρὸν ὑποτρέμοντες τὴν αὐτῶν φοβερὰν παρουσίαν ὡς ἤδη παρόντα φανταζόμενοι καὶ πρὶν ἐλθεῖν 'ἦλθον' φαμὲν 'τὰ δεινά, ἦλθον οἱ πολέμιοι, ἦλθον αἱ ὠδῖνες τοῦ θανάτου, ἦλθεν τὸ γῆρας.' καὶ τί μοι δεῖ πλειόνων; αὐτὸς ὁ Ἰωάννης τοῦτο σαφῶς ἐδίδαξεν εἰπών· 'εἰδὼς ὁ Ἰησοῦς, ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα, ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα.' τοῦτο δὲ ἔλεγεν, ὅτε τὸ δεῖπνον ἦν· ἀπέθανε δὲ τῇ ἑξῆς, εἰ ταύτην λέγει μετάβασιν, εἰ δὲ τὴν εἰς οὐρανοὺς

15 Luc. 22, 7 33 Joh. 13, 1

2 ἑτοιμάζωμεν Cord. Ust. || ἥτις — 3 τρεισκαιδεκάτη om. Cord. Ust. 10 ὄπισθεν Ust. 23 ἐπλησίαστεν A Cord. ἐπλησίασε Ust. 26 προσδοκομένῳ A Cord. προσδοκουμένῳ Ust.

ἄνοδον, ‛ἦλθεν’ εἶπεν τὴν μετὰ τεσσαράκοντα καὶ πλείονας ἐσομένην· ὥστε τὸ ‛ἦλθεν’ φησὶν ἀντὶ τοῦ ἤγγικεν. οὕτως καὶ ὁ Λουκᾶς ἐν τῇ αὐτῇ ἡμέρᾳ εἶπεν· ‛ἦλθεν δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα.’ ὥστε ὁμοίως τῷ Ἰωάννῃ τὸ ‛ἦλθεν’ ἀντὶ τοῦ ἤγγικεν εἶπεν.

Τούτου λελυμένου καὶ τὸ ἑξῆς προφανὲς ‛ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα’· οὐκ ἐν τῇ εἰρημένῃ | πρώτῃ τῶν ἀζύμων 146r τουτέστι τῇ πρὸ τῶν ἀζύμων, ἀλλ’ ἐν αὐτῇ τῇ τῶν ἀζύμων, ἐν ᾗ ὁ ἀμνὸς ἐθύετο. εἶπον γάρ, ὅτι ἀπὸ ἕκτης ὥρας τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας πᾶς ζυμωτὸς ἄρτος ἐξηφανίζετο.

Πάντων οὖν τῶν δοκούντων ἀντιπίπτειν λυθέντων ἀληθέστατον ἐδείχθη λοιπόν, ὅτι μὴ τὸ τυπικὸν καὶ νομικὸν πάσχα ἐν τῷ μυστικῷ δείπνῳ μετὰ τῶν μαθητῶν ἔφαγεν ὁ Χριστός, τὸ τῆς παλαιᾶς λέγω διαθήκης, ἀλλὰ τὸ ἴδιον καὶ ἀληθινὸν τὸ τῆς καινῆς διαθήκης· ‛πᾶν γὰρ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ.’ τῇ καινῇ τοίνυν διαθήκῃ παρούσῃ δικαίως ἡ παλαιὰ ὑπεχώρει.

Ἐντεῦθεν καὶ ἕτερον ἡμῖν συνευπόρηται ἀλλαχοῦ δεδειγμένον ἱκανῶς, ὅπερ συντόμως ὑπομνήσω νῦν, ὡς οὐ τὴν νύκτα Μωϋσῆς τῇ μετ’ αὐτὴν συναποδίδωσιν ἡμέρᾳ, καθά τισιν ἔδοξεν, ἀλλὰ τῇ πρὸ αὐτῆς, τοῦτο δὲ καὶ ἐκ τῶν ἀναγνωσθέντων νῦν τοῦ Λευιτικοῦ φανερόν· ‛ἐν τῷ πρώτῳ μηνὶ’ φησὶ ‛ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἀνὰ μέσον τῶν ἑσπερινῶν πάσχα τῷ κυρίῳ καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτὴ τῶν ἀζύμων τῷ κυρίῳ’, εἰ οὖν ἐθύετο μέν, ὡς ὁ νόμος λέγει, πρὸς ἑσπέραν τῇ τεσσαρεσκαιδεκάτῃ τὸ πρόβατον, ἠσθίετο δὲ ἀνὰ μέσον τῶν ἑσπερινῶν τουτέστι μέσην νύκτα, ὅτε καὶ τὰ πρωτότοκα τῶν Αἰγυπτίων ἀπώλετο, τὴν δὲ τεσσαρεσκαιδεκάτην ἡμέραν καὶ αὐτὸν τοῦτον τὸν καιρὸν πάσχα τῷ κυρίῳ καὶ ἑορτὴν ὀνομάζει τοῦ πάσχα, πᾶσιν οἶμαι δῆλον, ὅτι τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τὴν μετ’ αὐτὴν νύκτα προσῆψε. τὴν γὰρ μετὰ τὸ πάσχα πεντεκαιδεκάτην ἑορτὴν τῶν ἀζύμων ὠνόμασεν, οὐχὶ τοῦ πάσχα ἑορτήν. εἰ δὲ ἡ νὺξ τῆς ἐπιούσης ἦν ἡμέρας, ἐν ᾗ τὸν ἀμνὸν ἤσθιον, πάντως ἂν τὴν πεντεκαιδεκάτην ἑορτὴν ἐκάλει τοῦ πάσχα δικαίως. ἐν οἷς οὖν διέστειλε

---

3 Luc. 22, 7 15 Hebr. 8, 13 18 ἀλλαχοῦ cf. de op. m. II 22 22 Lev. 23, 5. 6

---

18 συνευπορεῖται Ust. 23 ἀνὰ μέσων B 28 ἀπώλοντο B 30 καὶ ante ἑορτὴν om. B 33 εἰ] ἡ B 34 ἦν om. B

τὰς δύο τῶν ἑορτῶν ἡμέρας καὶ τὴν μὲν τοῦ πάσχα ἑορτὴν τῇ τεσσαρεσκαιδεκάτῃ δίδωσιν, τὴν δὲ τῶν ἀζύμων ἑορτὴν τῇ πεντεκαιδεκάτῃ, περιφανέστατον ἂν εἴη λοιπόν, ὡς ἡ νύξ, ὅτε τὸ πρόβατον ἤσθιον, τῆς τεσσαρεσκαιδεκάτης ἐστὶ τοῦ μηνός, οὐ τῆς πεντεκαιδεκάτης.

Ὅσα δὲ τούτῳ προσάντη ἔδοξεν εἶναί τισιν, ἐξηγούμενοι τὸ ʽἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία᾽ διελύσαμεν.

---

7 Gen. 1, 5

---

3 περιφανέστατα B 6 τούτων πρόσαντες ἐδοξέ τισιν B 7 A in fine titulum totius disputationis iteravit: ὅτι τῇ τρεῖς καὶ δεκάτῃ τῆς σελήνης πρὸ μιᾶς τοῦ νομικοῦ πάσχα τὸ μυστικὸν τοῦ κ̅υ̅ γέγονε δεῖπνον. καὶ ὡς οὐ τὸν ἀμνὸν τότε μετὰ τῶν μαθητῶν ἔφαγεν ὁ χ̅σ̅: —



Index locorum scripturae sacrae.

A. Vetus testamentum.

B. Novum testamentum.

Index nominum.

Index verborum.

VITA.

Natus sum Carolus Augustus Walter mensis Maii die tertio anni huius saeculi LXXVI in urbe Bremerhaven patre Christopho, quem iam quinto aetatis anno morte ereptum vehementer doleo, matre Mathilda e gente Rumpiana. Fidem profiteor evangelicam. Primis litterarum elementis instructus ab anno 1885 gymnasium urbis nostrae per decem annos frequentavi, atque semper praeceptoribus carissimis cum aliis tum Paulo Mohr directori illustrissimo gratiam habebo, quod tantam antiquitatis admirationem mihi moverunt. Maturitatis examine exacto vere anni 1895 Jenam profectus sum, ubi usque ad hunc diem et philologicis et historicis studiis operam dedi: docuerunt me viri doctissimi Goetz, Gelzer, Hirzel, Lorenz, Eucken, Liebmann, Liebenam, Ehrhardt, Mentz. Per unum semestre proseminarii, per sexies sex menses seminarii philologorum sodalis fui, item historicorum seminariorum exercitationibus Gelzero, Lorenzio, Liebenamo praesidibus habitis interfui. Omnibus quorum institutione usus sum ex animo ago gratias quam maximas.